www.tezaurliturgic.ro

+

ΑΝΑΠΛΗΡΩΣΙΣ ΤΗΣ ΕΝ Τῼ ΜΗΝΑΙῼ ΑΚΟΛΟΥΘΙΑΣ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

# ΝΙΚΑΝΔΡΟΥ, ΕΠΙΣΚΟΠΟΥ ΜΥΡΩΝ

(οὗ ἡ μνήμη τῇ δ΄ Νοεμβρίου)




Συνετέθη ἐν ῾Αγίῳ ῎Ορει τοῦ ῎Αθωνος

* 2000 *

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro





## ΑΝΑΠΛΗΡΩΣΙΣ ΤΗΣ ΑΚΟΛΟΥΘΙΑΣ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΝΙΚΑΝΔΡΟΥ, ΕΠΙΣΚΟΠΟΥ ΜΥΡΩΝ

* * *

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

*Ἱστῶμεν στίχους στ´ καὶ ψάλλομεν στιχηρὰ προσόμοια γ´ τοῦ μηναίου καὶ εἶτα τὰ κατωτέρω γ´ νεοσύνθετα.*

Ἦχος δ´. Ὡς γενναῖον ἐν μάρτυσιν.

Θεῖον σκεῦος τοῦ Πνεύματος,
ἐφευρών σε ἀπόστολος,
Νίκανδρε μακάριε προεβίβασεν,
ἐπισκοπῆς εἰς ἀξίωμα,
γινώσκων τὴν δύναμιν,
σῆς ἀγάπης πρὸς Χριστόν,
καὶ ἐν Μύροις κατέλιπεν, προϊστάμενον,
τῶν πιστῶν οὓς ἐποίμανας γνησίως,
καὶ ἐδίδαξας τὸν τρόπον,
τῆς σωτηρίας μακάριε.

Ἐν τοῖς λόγοις διδάσκαλος,
ἐν τοῖς ἔργοις φιλόψυχος,
καὶ ἐν τῇ ἐνστάσει ἀκαταγώνιστος·
ὅθεν γενναίως ὑπήνεγκας,
βασάνων ἀθλήματα,
γεγονὼς βιβλίον ζῶν,
τοῦ ποιμνίου σου Ἅγιε, καὶ ἀπείληφας,
σὺν Ἑρμαίῳ ἀμάραντα τὰ στέφη,
ἐκ χειρὸς τοῦ σοῦ Δεσπότου,
ἱερομάρτυς τρισόλβιε.

Οὔτε ἵπποι δυσήνιοι,
οὐδὲ κάμινος βρέμουσα,
ἀλλ᾽ οὐδὲ ἡλώματα σὲ κατέβαλον,

Νίκανδρε, ἔρωτα ἔχοντα,
Χριστοῦ ἐν καρδίᾳ σου,
ὅθεν πῦρ σεβαστικῶς,
οὐ κατέκαυσε σῶμά σου,
τὸ πολύαθλον·
διὸ ἔχων τὴν χάριν τοῦ πρεσβεύειν,
καθικέτευε Δεσπότην,
ὑπὲρ πιστῶν τῶν τιμώντων σε.

Δόξα. Ἦχος β΄.

Ὡς κριὸν ἐπίσημον τοῦ σοῦ εὐλογημένου ποιμνίου,
ὁ Κύριος προσεδέξατό σε, πάτερ Νίκανδρε,
προσενεχθέντα ὡς θυσίαν, διὰ πολλῶν μαρτυρίων,
δι᾽ ὧν τὴν σταθερὰν ἀγάπην καὶ τὸ γνήσιον φίλτρον
πρὸς Αὐτὸν ἀπέδειξας.
Ὅθεν νῦν συνοικῶν τοῖς χοροῖς τῶν Ἀγγέλων,
ἐκτενῶς ἱκέτευε ὑπὲρ τῶν πιστῶς τιμώντων σε,
ὡς ἱεράρχης φιλότεκνος.

Καὶ νῦν. Παρῆλθεν ἡ σκιά τοῦ Νόμου.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.
Ἀναγνώσματα ἱεραρχικά.

Παροιμιῶν τὸ ἀνάγνωσμα

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν καὶ θνητός, ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι ἤ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν. Οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτήν. Πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν καὶ δόξαν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ρήματα τοῦ στόματός μου· οὐδὲν ἐν αὐτοῖς σκολιὸν οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν καὶ πλησθήσεσθε Πνεύματος.

Παροιμιῶν τὸ ἀνάγνωσμα

Στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται. Χείλη ἀνδρῶν ἐπίστανται χάριτας, στόμα δὲ ἀσεβῶν καταστρέφεται. Ζυγοὶ δόλιοι βδέλυγμα ἐνώπιον Κυρίου· στάθμιον δὲ δίκαιον, δεκτὸν αὐτῷ. Οὗ ἂν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία· στόμα δὲ ταπεινῶν μελετᾷ σοφίαν. Τελειότης εὐθέων ὁδηγήσει αὐτούς καὶ ὑποσκελισμὸς ἀθετούντων προνομεύσει αὐτούς. Οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ· δικαιοσύνη δὲ ῥύσεται ἀπὸ θανάτου. ᾿Αποθανὼν δίκαιος ἔλιπε μετάμελον· πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια. Δικαιοσύνη ἀμώμου ὀρθοτομεῖ ὁδούς, ἀσέβεια δὲ περιπίπτει ἀδικίᾳ. Δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύσεται αὐτούς, τῇ δὲ ἀβουλίᾳ ἁλίσκονται παράνομοι. Τελευτήσαντος ἀνδρὸς δικαίου οὐκ ὄλλυται ἐλπίς, τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται. Δίκαιος ἐκ θύρας ἐκδύνει, ἀντ᾿ αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής. ᾿Εν στόματι ἀσεβῶν παγὶς πολίταις, αἴσθησις δὲ δικαίων εὔοδος. ᾿Εν ἀγαθοῖς δικαίων κατώρθωται πόλις καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα. ᾿Εν εὐλογίᾳ εὐθέων ὑψωθήσεται πόλις, στόματι δὲ ἀσεβῶν κατασκαφήσεται. Μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν· ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις · καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη · καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Στιχηρὰ ἰδιόμελα



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἦχος α΄.

Τοῦ μακαρίου Τίτου γινώσκομέν σε μαθητήν,
καὶ τοῦ Μεγάλου ᾿Αρχιερέως ἀκριβὲς ἐκτύπωμα,
Νίκανδρε ἱερομάρτυς ἔνδοξε.
Τῷ μύρῳ γὰρ τοῦ Πνεύματος χρισθεὶς μυστικῶς,
τῶν Μύρων κατεστάθης ἐπίσκοπος καὶ ποιμήν,
ἐν λόγοις διδάσκων, ἐν ἔργοις φρονηματίζων,
καὶ ἐν εὐχαῖς στηρίζων καὶ ἁγιάζων τὰ λογικά σου πρόβατα.
Διὸ καὶ τὸν στέφανον εἰληφὼς τοῦ Μάρτυρος,
ἱκέτευε πάτερ τὸν Δεσπότην Χριστόν,
ὑπὲρ τῶν πόθῳ τιμώντων σε.

Ἦχος β΄.

Ὅσιος, ἄκακος, ἀμίαντος καὶ κεχωρισμένος τῆς ἁμαρτίας,
ὑπάρχων, Νίκανδρε ἁγιώτατε,
τὴν ράβδον ἐνεπιστεύθης τῆς ἐπισκοπῆς Μυρέων·
ὅθεν ἐκδιώκων τῶν προβάτων σου πᾶσαν δυσώδη ἁμαρτίαν,
τὸ μύρον τῆς Χάριτος μετεβίβαζες αὐτῶν ταῖς ψυχαῖς,
καὶ τῶν ποικίλων μαρτυρίων ὑποστὰς τὰς βασάνους,
ὅλος ἐμυρώθης παρὰ τοῦ νοητοῦ μύρου Χριστοῦ.
Αὐτὸν ἱκέτευε, ἱερομάρτυς ἔνδοξε,
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ΄.

Κατὰ τὸν διδάσκαλόν σου καὶ ἀπόστολον Τῖτον,
ἐφάνης, Νίκανδρε ἅγιε,
ἀποστολικὴν ἔχων καρδίαν.
Ὅθεν τῇ σύριγγι τῶν θείων λόγων,
ἐκθρέψας τὴν ποίμνην σου,
εἶτα μεγάλως ἐχαροποίησας αὐτήν,
διὰ τῆς ὑπερθαυμάστου ὑπομονῆς σου ἐν τοῖς μαρτυρίοις.
Διὸ ὡς πλουτῶν τὴν παρρησίαν πρὸς τὸν στεφοδότην Χριστόν,
Αὐτὸν ἱκέτευε δοῦναι ἡμῖν ἀπόμοιραν τῆς σῆς θείας ἀγάπης,
εἰρήνην ἀκατάσειστον,
καὶ ταῖς ψυχαῖς πλουσίως τὸ μέγα ἔλεος.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἦχος δ΄.

Ὡς προφητικός τις ἵππος, πάτερ Νίκανδρε,
ἐτάραξας τὴν εἰδωλικὴν θάλασσαν τῆς ἀσεβείας,
καὶ πολλῶν ψυχὰς εἰς φῶς ὁδηγήσας τοῦ Χριστοῦ,
ἤγειρας κατὰ σοῦ τὴν λύσσαν τοῦ μισοψύχου ἐχθροῦ·
ὅθεν καὶ διασυρμὸν ἵππων καὶ ἥλων ἐμπηγμὸν
καὶ καμινιαίαν φλόγα γενναίως καθυπομείνας,
ἐξιφοτμήθης σὺν Ἑρμαίῳ τὴν ἱεράν σου κεφαλήν,
ἣν ὁ Χριστὸς δεξάμενος ὡς προσφορὰν ὑπέρτιμον,
δωρεῖταί σοι τὴν χάριν τῆς ἱκεσίας,
καὶ αἰτεῖσθαι ἡμῖν τὴν σωτηρίαν τὴν αἰώνιον.

Δόξα. Ἦχος πλ.α΄.

Τὸ ὕψος τε καὶ βάθος καὶ τὸ πλάτος ἐπιγνοὺς
τῆς ἀγάπης Χριστοῦ,
ὄπισθεν Αὐτοῦ ἐκολλήθης ψαλμικῶς,
Νίκανδρε ἔνδοξε ἱερομάρτυς.
Ὅθεν οὐδὲν πικρὸν ἠδυνήθη σε μακρύναι
ἀπὸ τοῦ φιλτάτου σου Ἰησοῦ,
Ὃν εὑρὼν ἀδιαστάτως διὰ τῶν μαρτυρικῶν αἱμάτων,
πρέσβευε διηνεκῶς ὑπὲρ τῶν τιμώντων σε,
πάτερ φιλόστοργε καὶ φιλότεκνε.

Καὶ νῦν. Μακαρίζομέν σε.

## ΕΙΣ ΤΑ ΑΠΟΣΤΙΧΑ

Στιχηρὰ προσόμοια. Ἦχος πλ.α΄. Χαίροις ἀσκητικῶν.

Κλῆσιν ἱεραρχίας δεχθείς,
ὑπὸ τοῦ Τίτου κατεστάθης μακάριε,
Μυρέων ἀρχιεράρχης,
βλέμμα στηλώσας Χριστῷ,
Οὗ περ ἀνεδείχθης ἀφομοίωμα·
σοῖς λόγοις γάρ, ἅγιε,
πλήθη εἵλκυσας ἄπειρα,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

βυθοῦ ἀπάτης,
καὶ υἱοὺς ἐναπέδειξας,
θείας Χάριτος,
ἐκζητοῦντας τὸν Κύριον·
ὅθεν ὁ ἀντικείμενος,
ὀργάνοις χρησάμενος,
πιστοῖς ματαίων εἰδώλων,
καθυποβάλλει βασάνοις σε,
ἐν οἷς γενναιόφρον,
ἐπιδείξας καρτερίαν,
στέφος ἀπείληφας.

*Στίχ. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην...*

Νίκην κατὰ παθῶν ἱεράν,
νικήσας ὤφθης ἱεράρχης πανσέβαστος,
καὶ θύων Χριστοῦ τὸ σῶμα,
πίνων τε αἷμα Αὐτοῦ,
τῆς ζωῆς τῆς ὄντως, πάτερ πέπλησαι·
διὸ οὐκ ἐνάρκησας,
ἐμβληθεὶς εἰς τὴν κάμινον,
οὐδὲ τῶν ἵππων,
ἐφοβήθης διάσυρσιν,
ἀλλὰ ἔχαιρες,
πάσχων ἔνδοξε Νίκανδρε·
ὅθεν ἡμᾶς συνέτισον,
πῶς δεῖ ἀναστρέφεσθαι,
καὶ ὑπομένειν γενναίως,
τὰ λυπηρὰ καὶ ἐπώδυνα,
καὶ πᾶσαν ἐλπίδα,
ἀνατίθεσθαι Κυρίῳ,
ποιμὴν χριστόψυχε.

*Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν
καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Πλήρως ἐξωμοιώθης Χριστῷ,
ἀρθεὶς ἐν ξύλῳ, ἀξιάγαστε Νίκανδρε,
καὶ ἥλων ὀξέων φέρων,

ὀδυνηρὸν ἐμπηγμόν,
ἕνεκεν ἀγάπης τοῦ Δεσπότου σου·
ταφεὶς δὲ ἐν μνήματι,
ἔτι ζῶν κατενίκησας,
θανάτου κράτος,
ὡς Αὐτὸς κατενίκησε,
τὸν ἀλάστορα,
κατελθὼν γῆς εἰς ἔγκατα.
Νῦν δὲ κατευφραινόμενος,
καὶ βλέπων τὸ Πρόσωπον,
τοῦ γλυκυτάτου Κυρίου,
ὑπὲρ ἡμῶν καθικέτευε,
παθῶν κυριεύειν,
καὶ ζωῆς ἀξιωθῆναι,
Πάτερ μακάριε.

Δόξα. Ἦχος δ΄.

Ἀποστολικῆς τυχὼν χειροτονίας,
ἀποστολικὴν ζωὴν διήνυσας,
θεομακάριστε ἱερομάρτυς Νίκανδρε.
Οὐ γὰρ ἀφορμὴν ματαιοδοξίας ἐνόμισας τὴν ἐπισκοπείαν,
ἀλλὰ στάδιον μαρτυρικῆς ἐκδαπανήσεως.
Ὅθεν γενόμενος τύπος ἀληθοῦς ποιμένος τοῦ Χριστοῦ,
πολλοὺς ἐσκοτισμένους τῇ εἰδωλομανίᾳ,
διὰ τοῦ φωτὸς τοῦ Εὐαγγελίου ἀνεγέννησας.
Καὶ διὰ ζῆλον δαιμονικὸν τοῖς μαρτυρίοις ὑποβληθείς,
τὴν προσωνυμίαν σου ἐνδόξως ἐτίμησας.
Νῦν δὲ συλλειτουργῶν ἐν τῷ ἐπουρανίῳ Θυσιαστηρίῳ,
μνήσθητι Πάτερ καὶ ἡμῶν,
τῶν τελούντων τὴν φαιδρόψυχον μνήμην σου.

Καὶ νῦν. Νεῦσον παρακλήσεσι.

Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.

Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ῥομφαία τοῦ Πνεύματος
ὤφθης ποιμὴν ἱερέ,
στομώσας τοῖς λόγοις σου
μανίαν εἰδωλικὴν,
μακάριε Νίκανδρε.
Πλῆθος δὲ μαρτυρίων,
ὑποστὰς ζῶν ἐτάφης,
ὅθεν στέφος τῆς νίκης,
ἀναδέδησαι μάκαρ,
πρεσβεύων ὑπὲρ πάντων,
τιμώντων μνήμην σου.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν.
Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ποιμὴν ἀληθινός,
τοῦ Χριστοῦ ἀνεδείχθης,
τῇ ῥάβδῳ τοῦ Σταυροῦ,
ἐκδιώκων τοὺς λύκους,
ἐν ὕδατι βαπτίσματος,
ἀσεβεῖς κατεφώτισας,
καὶ ἀνέδειξας,
υἱοὺς φωτὸς καὶ ἡμέρας,
πάτερ Νίκανδρε,
διὸ στεφάνου μαρτύρων,
ἐν τέλει ἠξίωσαι.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Αἱμάτων ἐξ ἁγνῶν,
τὸν Δεσπότην τῶν ὅλων,
τεκοῦσα καὶ ὃ ἦν,
μὴ τραπέντα οὐδόλως,
παρθένος διέμεινας,
μετὰ τόκον τὸν ἄφραστον,
ὅθεν ἅπαντες,
τὰ μεγαλεῖά σου, Κόρη,


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

μεγαλύνομεν,
καὶ τῇ θερμῇ σου πρεσβείᾳ,
σωθῆναι ἐλπίζομεν.

Μετὰ τὴν β´ στιχολογίαν.
Κάθισμα. Ἦχος δ´. Ἐπεφάνης σήμερον.

Τὸν Σταυρὸν ἠγάπησας,
Νίκανδρε πάτερ,
καὶ αὐτῷ ἐσταύρωσας,
πᾶσαν τοῦ βίου ἡδονήν,
ὅθεν σῷ αἵματι ἔβαψας,
ἐπισκοπείας,
σεπτὸν ὠμοφόριον.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Μωϋσῆς ἑώρακε,
πυρφόρον βάτον,
σὲ τὸ πῦρ βαστάσασαν,
τὸ τὰς ψυχὰς φωταγωγοῦν,
καὶ μὴ φλεχθεῖσαν Πανάμωμε,
δρόσου δὲ μᾶλλον,
πλησθεῖσαν τῆς Χάριτος.

Μετὰ τὸν Πολυέλεον.
Κάθισμα. Ἦχος πλ. α´. Τὸν συνάναρχον Λόγον.

Τῶν Μυρέων ποιμάνας τὴν ποίμνην, Νίκανδρε,
καὶ μαρτύρων ἐγένου ἐν πᾶσι μέτοχος,
διὰ Δεσπότην σου Χριστόν,
Ὅνπερ ἠγάπησας·
ὅθεν ἐν τάφῳ ζῶν κλεισθείς,
εἴληφας στέφος τῆς ζωῆς,
ἑστὼς δὲ ἐν Παραδείσῳ,
ἡμῶν μνημόνευε πάτερ,
τῶν γεραιρόντων τὴν μνήμην σου.
Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Χαῖρε ἅγιον ὄρος καὶ θεοβάδιστον,
χαῖρε ἔμψυχε βάτε καὶ ἀκατάφλεκτε,
χαῖρε ἡ μόνη πρὸς Θεὸν κόσμου γέφυρα,
ἡ μετάγουσα θνητοὺς ,
πρὸς τὴν αἰώνιον ζωήν,
χαῖρε ἀκήρατε Κόρη,
ἡ ἀπειράνδρως τεκοῦσα,
τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Οἱ ἀναβαθμοί· τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου. ᾿Εκ νεότητός μου.
Προκείμενον· Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην...
Στίχ. ᾿Ακούσατε ταῦτα πάντα τὰ ἔθνη...
**Εὐαγγέλιον**· ἱεραρχικόν, τὸ ἐν τῷ ὄρθρῳ τῆς ιγ΄Νοεμβρίου.

Δόξα. Ταῖς τοῦ ῾Ιεράρχου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στιχηρὸν ἰδιόμελον. ῏Ηχος πλ. β΄.
Στίχ. ᾿Ελεῆμον, ἐλέησόν με ὁ Θεός....
Μύρῳ ἑλκυσθεὶς τοῦ Δεσπότου σου Χριστοῦ,
τοῦ νοητοῦ ὄντωςπ μύρου,
Μυρέων ἀνεδείχθης θεομακάριστος ποιμήν,
Νίκανδρε τίμιε·
ὅθεν καὶ μαρτύρων ἰσοστάσιος,
ὥσπερ καὶ ὁμότροπος ἀναφανείς,
πρέσβευε ὑπὲρ ἡμῶν, ἱκετεύομεν, μακάριε..

Κοντάκιον *(παλαιόν)*
῏Ηχος γ΄. ῾Η Παρθένος σήμερον.

Τῶν ψυχῶν τὴν ἄρουραν,
γεηπονοῦντες τῷ λόγῳ,
μυστικῶς ἠνέγκατε,
Χριστῷ ἀθλήσεως στάχυν·
Τίτῳ γάρ, τῷ θεηγόρῳ μαθητευθέντες,
ὤφθητε, διδασκαλίας θεῖα πυξία,
Νίκανδρε ἱερομάρτυς,
σὺν τῷ ῾Ερμαίῳ,
λαμπρῶς ἀθλήσαντες.

**Ὁ Οἶκος**

Τῖτον ἔσχες νυμφαγωγόν, θεῖε Νίκανδρε
πρὸς Χριστοῦ τὴν πίστιν τὴν σωτήριον,
καὶ δεξάμενος τὴν χάριν τῆς ἀρχιερωσύνης,
τῶν Μυρέων θεοπρεπῶς ἐποιμενάρχησας,
κατὰ τὸν Ἰωάννην ἤ μᾶλλον Αὐτὸν τὸν Κύριον λέγοντα·
ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν
ὅτε χρὴ ὑπὲρ τῶν προβάτων αὐτοῦ ·
διὸ τοῦ καιροῦ σε καλέσαντος
καὶ τῶν στεφάνων σοι προτεθέντων,
μεθ᾽ Ἑρμαίου πυρὸς καὶ ἥλων καὶ ξύλων μετέσχετε,
ἀλλὰ καὶ ὄπισθεν ἵππων προσεδέθητε,
πιστῶς ἐμμείναντες τῇ τοῦ Δεσπότου ἀγάπῃ,
καὶ ἐτάφητε ζῶντες διὰ τὴν ὄντως ζωὴν,
λαμπρῶς ἀθλήσαντες.

*τὸ Συναξάριον*

**Τῇ δ΄ τοῦ αὐτοῦ μηνὸς Νοεμβρίου, μνήμην ἐπιτελοῦμεν τοῦ ἐν ἁγίοις ἐνδόξου ἱερομάρτυρος Νικάνδρου, ἐπισκόπου Μύρων καὶ τοῦ συνάθλου αὐτοῦ Ἑρμαίου πρεσβυτέρου.**

Στίχοι
*Θεὸν ποθοῦντας ζῶντα Μάρτυρας δύο,*
*Καὶ ζῶντας ἐνθάπτουσι πικρῶς τῷ τάφῳ.*
*Τετράδι δυὰς ἱερομαρτύρων ὀγδόης τέτευχεν.*

καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ τῆς ἡμέρας

*Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

Ἐξαποστειλάριον *(ἐκ τοῦ Μηναίου)*
Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε.

Φυτεία τοῦ παμμάκαρος,
ἐδείχθης Τίτου, Νίκανδρε,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ὑφ᾽ οὗ τῆς πόλεως Μύρων,
ἐχρίσθης, ὅσιε Πάτερ,
ἀρχιερεὺς θεόληπτος,
ἐν ᾗ καὶ τὸ μαρτύριον,
σὺν τῷ ῾Ερμαίῳ, πάνσοφε,
ὑπὲρ Χριστοῦ διανύσας,
ἐν οὐρανῖς βασιλεύεις.

Θεοτοκίον, ὅμοιον

Καὶ σχετικῶς ἀσπάζομαι,
καὶ πόθῳ τὴν προσκύνησιν,
προσνέμω πίστει καὶ φόβῳ,
τῇ παναχράντῳ καὶ θείᾳ,
εἰκόνι σου Πανάμωμε,
ἀφ᾽ ἧς ψυχῶν ἐκβλύζουσι,
καὶ τῶν σωμάτων Δέσποινα,
ἰάματα τοῖς ὑμνοῦσι,
σὲ Θεοτόκον κυρίως.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Στιχηρὰ προσόμοια.
Ἦχος πλ.δ΄. Ὢπ τοῦ παραδόξου θαύματος.

Πλήρης γενόμενος Πνεύματος,
ποιμὴν ἐφάνης κλεινός,
τῶν Μυρέων μακάριε,
Νίκανδρε τοῦ Τίτου σε,
προχειρίσαντος ἄξιον·
ὅθεν τοῖς λόγοις θρέψας σὰ πρόβατα,
πρὸς τὴν Κυρίου γνῶσιν ἀνήγαγες,
καὶ τῷ βαπτίσματι,
πλήθη προσενήνοχας τῷ ᾽Ιησοῦ,
÷uΩ τὸ αἷμα δέδωκας,
φίλτρον δεικνύμενος.

Ἵππων ἐδέθης ἐξόπισθεν,
καὶ κατεσύρθης δεινῶς,


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἀξιάγαστε Νίκανδρε,
ὡς δρομεὺς θεόστοχος,
σὺν ῾Ερμαίῳ συνάθλῳ σου·
καὶ νύσσαν φθάσας τὴν ἐπουράνιον,
νῦν κατευφραίνῃ ἔχων ἃ πρότερον,
ἐπόθεις ἔνδον σου,
καὶ μιμνήσκῃ πάντοτε τῶν σὲ πιστῶς,
εὐφημούντων ᾄσμασι,
φιλοστοργότατε.

Καταφλεγεὶς θείῳ ἔρωτι,
οὐδόλως ᾔσθου πυρός,
τῆς καμίνου τὸ ἔνυλον,
Νίκανδρε χριστόφλεκτε,
ἀλλὰ ἔμεινας ἄφθορος·
διὸ διῶκταί σου κατεπλάγησαν,
διαπιστοῦντες πίστεως δύναμιν,
ἣν καὶ παράσχοιο,
τοῖς πιστῶς τιμῶσί σε καὶ οὐρανῶν,
Βασιλείαν δώρησαι,
τὴν ἐπουράνιον.

Πλείστοις βασάνοις ὡμίλησας,
διὰ τὸν πόθον Χριστοῦ,
καὶ πολλάκις ἀπέθανες,
ἑκοντὶ τρισόλβιε,
ἵνα εὕρῃς ἀνάστασιν,
μετὰ Μαρτύρων ἁπάντων, Νίκανδρε,
καὶ λάβῃς στέφος τὸ μὴ φθειρόμενον·
ὅθεν δεόμεθα,
τοῦ Κυρίου νέκρωσιν διὰ παντός,
χάρισαι τοῖς μέλπουσιν,
ἔνδοξον μνήμην σου .

Δόξα. Ἦχος ὁ αὐτός.
Τὴν μὲν ἐπωνυμίαν σου τοῖς ἔργοις ἐτράνωσας,
τὴν δὲ χριστοφιλίαν τοῖς ἄθλοις σου ἀπέδειξας,
σοῖς αἵμασιν ποδήρη ἐπιχρώσας ἀρχιερωσύνης·
ὅθεν ὡς θύτης καὶ θῦμα τοῦ Χριστοῦ,


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τῆς ἐπουρανίου μετέχεις λειτουργίας,
καὶ ἀλήκτως καθικετεύεις τὸν Δεσπότην,
ὑπὲρ τῶν τιμώντων τὴν σεβασμίαν μνήμην σου,
ἱερομάρτυς πανένδοξε Νίκανδρε.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι.

*Μεγαλυνάρια*
*(παλαιόν)*

Χάριν εἰληφότες τὴν θεουργόν,
ταῖς χερσὶ τοῦ Τίτου,
τὸν τῆς Χάριτος φωτισμόν,
τοῖς ἐσκοτισμένοις,
πυρσεύετε τῷ λόγῳ,
Νίκανδρε καὶ Ἑρμαῖε,
ἱερομάρτυρες

*(ἕτερον, νεοσύνθετον)*

Τοῦ Σωτῆρος θεῖος ἀρχιερεύς,
ἀνεδείχθης πάτερ,
διὰ Τίτου τοῦ θαυμαστοῦ,
καὶ μαρτύρων δόξαν,
Νίκανδρε, ἀπεδρέψω,
ὅθεν τοὺς σὲ τιμῶντας
σκέπε ἀείποτε.

*Στίχοι*

*Νίκην κατ᾽ ἐχθρῶν μισοψύχων μοι δίδου,*
*Πάτερ Νίκανδρε, μέλψαντί σου τοὺς ἄθλους.*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ